τὸν Υἱὸν τὴν γέννησιν ἀναφέρουσα, οὐχ ὡς ὁ μὲν Φωτεινὸς καὶ Σαβέλλιος ἐπὶ τὸ τὴν ἀνθρωπίνην φύσιν λαβεῖν, ὁ δὲ Ἄρειος φύσιν τινὰ κτιστήν, τιμιωτέραν πάντων κτισμάτων. Ἀλλ' ἐκείνων μὲν ἡ διαφορὰ πρὸς ἀλλήλους τῶν αἱρετικῶν καὶ κοινωνία δήλη ἐκ τῶν προειρημένων. Ἡ δὲ καθολικὴ πίστις, μὴ συγχωροῦσα, μετὰ μὲν Ἀρείου καὶ Φωτεινοῦ, κατὰ Σαβελλίου ἕτερον εἶναι πρόσωπον Πατρὸς καὶ Υἱοῦ, καὶ τὸν μὲν γεννητόν, τὸν δὲ Πατέρα πάντη ἀγέννητον ὁμολογεῖ· μετὰ δὲ Σαβελλίου κατὰ Φωτεινοῦ καὶ Ἀρείου τὸν Χριστὸν ἀληθῆ καὶ φύσει Θεὸν καὶ τῆς αὐτῆς φύσεως τῷ Πατρί, εἰ καὶ μὴ αὐτοπρόσωπον· ἐξ οὗ τὴν τῆς καθόλου ἀληθείας κρίσιν λαβεῖν δυνατόν. Τοῖς μὲν γὰρ ἀληθέσι καὶ τὸ ψεῦδος συμμαρτυρεῖ, τὰ δὲ ψευδῆ οὐ τοῖς ἀληθέσι μόνον, ἀλλὰ καὶ ἑαυτοῖς ἐναντιοῦται.

VIII. — Λύσις τῶν παρὰ τοῦ Ἀρείου εἰσαγομένων ῥημάτων.

Ἐπεὶ δὲ ἀλήθειαν ἀληθείᾳ ἐναντίαν εἶναι ἀδύνατον, ἄχρηστα πρὸς τὴν δόξαν αὐτῶν εἰσι τὰ τοῖς Ἀρειανοῖς ἁρπαζόμενα ῥητά· ἡμεῖς γάρ, εἰ καὶ Θεὸν τὸν Πατέρα ὁμολογοῦμεν, καὶ τὸν Υἱὸν Θεόν, ἀλλ' οὐκ ἀφιστάμεθα τοῦ Θεὸν ἕνα φρονεῖν καὶ ὁμολογεῖν, τὴν αὐτὴν ἀριθμῷ οὐσίαν καὶ φύσιν Πατρὸς καὶ Υἱοῦ ἐκ τῶν γραφῶν εἶναι μεμαθηκότες, οὐχ ὥσπερ ἐν δυσὶν ἀνθρώποις ἑτέρα καὶ ἑτέρα ἀριθμῷ ἀνθρωπότης ἐστίν· τῷ δὲ τὸν Θεὸν καὶ Πατέρα μόνον ἀληθινὸν Θεὸν εἶναι μᾶλλον ἕπεται τὸ τὴν μόνην καὶ ἀληθῆ θεότητα καὶ τῷ Υἱῷ προσήκειν ἢ μὴ ἁρμόζειν, ἐπειδὴ ἑαυτὸν Υἱὸν ἐμαρτύρει τοῦ Πατρὸς Θεὸν ὄντα, ἐν ᾧ ἡ ἀληθὴς θεότης μόνῳ ἐστίν. Ὅθεν ὁ Ἰωάννης, ὥσπερ ἐξηγούμενος ταῦτα τοῦ Κυρίου τὰ ῥήματα, καὶ Θεὸν εἶναι τὸν Υἱὸν ἀληθῆ, καὶ ἀληθῆ υἱόν, καὶ ἐν αὐτῷ τὴν αἰώνιον εἶναι λέγει ζωήν. Φάσκει γὰρ ἐν τῷ τέλει τῆς κανονικῆς· „Ἵνα γινώσκωμεν τὸν ἀληθῆ Θεόν, καὶ ὦμεν ἐν τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ. Οὗτός ἐστιν ὁ ἀληθὴς Θεὸς καὶ ζωὴ αἰώνιος". Ἐπεὶ γὰρ ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἷς εἰσι Θεός, τὸ περὶ τοῦ Πατρὸς τῷ τῆς θεότητος λόγῳ λεγόμενον καὶ τῷ Υἱῷ πρόσεστιν, καὶ ἀνάπαλιν· τῷ γάρ· „Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὔτε τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός", οὐκ ἀποκλείεται τῆς ἑαυτοῦ γνώσεως ὁ Πατήρ, ἢ ὁ Υἱός. Οὕτω κἀνταῦθα | τῷ μόνον ἀληθινὸν Θεὸν εἰπεῖν τὸν Πατέρα οὐκ ἀποκλείεται f. 146
αὐτὸς τῆς ἀληθοῦς θεότητος. „Μακάριος δὲ καὶ μόνος δυνατός", καὶ τὰ ἑξῆς, οὐχ ὁ Πατὴρ ὀνομάζεται, ἀλλὰ τὸ κοινὸν Πατρὶ καὶ Υἱῷ· ὅτι γὰρ καὶ τῷ Υἱῷ ταῦτα προσήκει, ἐν τῇ Ἀποκαλύψει φανερῶς δείκνυται, ὅπου λέγεται ὡς „ἐνεδέδυτο στολὴν ἐρραντισμένην αἵματι, καὶ ἐκαλεῖτο τὸ ὄνομα αὐτοῦ Λόγος Θεοῦ"· καὶ μετὰ ταῦτα προστίθησιν ὡς „εἶχεν ἐν τῷ

27 I Ioh. 5, 20    30 Matth. 11, 27    37 Ap. 19, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἱματίῳ αὐτοῦ καὶ τῷ μηρῷ γεγραμμένον „ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων". Ἀλλ' οὐδὲ τῷ „μόνος ἔχων ἀθανασίαν" ἐκβάλλεται ὁ Υἱός, ὅταν αὐτὸς δωρῆται ἀθανασίαν, ὡς αὐτός φησιν ἐν τῷ κατὰ Ἰωάννην· „Ὁ πιστεύων εἰς ἐμὲ οὐκ ἀποθανεῖται εἰς τὸν αἰῶνα". Ὅτι δὲ καὶ ἑαυτὸν δείκνυσιν ὁ Υἱός, αὐτός φησι περὶ ἑαυτοῦ· ἐν γὰρ τῷ κατὰ Ἰωάννην λέγει· „Ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν". Ὅθεν καὶ πρὸς τοῦτόν φαμεν· „Ἐπίφανον τὸν πρόσωπόν σου καὶ σωθησόμεθα".

Μείζονα δὲ τὸν Πατέρα ἑαυτοῦ λέγει, ὡς ἠλαττωμένου τῇ προσλήψει τῆς δουλικῆς μορφῆς τοῦ κατὰ τὴν θείαν μορφὴν ἴσου ὄντος τῷ Θεῷ καὶ Πατρί, ὡς ἐν τῇ πρὸς Φιλιππησίους φησὶν ὁ Ἀπόστολος κατὰ τὸν αὐτὸν λόγον καὶ ὑποτετάχθαι λέγεται τῷ Πατρί, κατὰ τὴν ἀνθρωπίνην δηλονότι φύσιν· κατὰ γὰρ τὴν θεότητα, „πάντα ποιῶν ὅσα καὶ ὁ Πατήρ, καὶ ἑαυτῷ αὐτὸς πάντα ὑπέταξεν"· καὶ ὁ Ἀπόστολός φησι περὶ τοῦ Υἱοῦ ἐν τῇ πρὸς Φιλιππησίους· „Κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα". Ἐκ δὲ τοῦ διδόναι τῷ Υἱῷ τὸν Πατέρα, οὐδὲν ἕτερον ἢ ἡ γέννησις νοεῖται τοῦ Υἱοῦ, καθ' ἣν ὁ Πατὴρ τὴν ἑαυτοῦ φύσιν δέδωκε τῷ Υἱῷ· ὅπερ αὐτὸς ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην ἐναργῶς δείκνυσιν λέγων· „Ὃ δέδωκέ μοι ὁ Πατὴρ μεῖζον πάντων ἐστί". Τὸ δὲ μεῖζον πάντων ἡ θεία φύσις ἐστίν, ἐν ᾗ καὶ ὁ Υἱὸς ἴσος τῷ δεδωκότι ταύτην Πατρί. Καὶ καθαρώτερον ἀναπτύσσων φησίν· „Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν". Συνᾴδει δὲ καὶ τὸ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Φιλιππησίους· „Καὶ ἔδωκεν αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα", καὶ τὰ ἑξῆς. Τὸ δὲ πάντων ὑψηλότερον ὄνομα, καὶ ᾧ κάμπτει γόνυ πᾶν ἐπ' οὐρανίων καὶ ἐπιγείων, τὸ τῆς θεότητός ἐστιν ὄνομα καὶ πρᾶγμα.

f. 146v Τὸ δὲ „πάντα δεδόσθαι αὐτῷ παρὰ τοῦ Πατρὸς" τῷ „πάντα ὅσα ἔχει ὁ Πατήρ", αὐτοῦ εἶναι τοῦ Υἱοῦ, καὶ τὸ πᾶν τὸ πλήρωμα τῆς θεότητος εἶναι ἐν αὐτῷ συμφωνεῖ. Καὶ τῷ μὲν τὸν Πατέρα εἶναι τὸν διδόντα καὶ τὸν Υἱὸν τὸν λαμβάνοντα Σαβέλλιος ἄγχεται· τῷ δὲ μεγέθει τοῦ διδομένου Ἄρειος καταισχύνεται. Οὐκ ἄρα ἔνδειαν τῷ Υἱῷ ταῦτα προσάπτει· οὐ γὰρ ἦν πρὶν ταῦτα αὐτῷ δοθῆναι, ἀλλὰ τὸ γεννηθῆναι τοῦτ' ἔστιν τὸ δοθῆναι αὐτῷ παρὰ τοῦ Πατρός. Αἰτῶν δὲ δοξασθῆναι, ζητεῖ διαδειχθῆναι ἐν αὐτῷ ἀνθρώπῳ ἤδη γενομένῳ τὴν δόξαν, ἣν ἐξ ἀϊδίου εἰληφὼς εἶχεν ἐν τῷ Πατρὶ παρ' αὐτοῦ τοῦ Πατρός.

Διδάσκεται δὲ οὐκ ἀγνοῶν· πῶς γὰρ ἡ σοφία τοῦ Πατρὸς καὶ ἡ δύναμις; Ἀδύνατον γὰρ τὴν σοφίαν τοῦ Θεοῦ ἀγνοεῖν, ἢ τὴν αὐτοῦ δύναμιν ἀσθενεῖν· ἀλλ' ὥσπερ οὐ δύναται ἀφ' ἑαυτοῦ εἶναι, ἀλλὰ μόνον ἐκ τοῦ

---

4 Ioh. 11, 26 10 *τοῦ*: *ὅ τοι* A, changé ensuite en un mot indéchiffrable
15 Phil. 3, 20-21 19 Ioh. 10, 29 21 Ioh. 10, 30 23 Phil. 2, 9-10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Πατρός, οὕτως οὐδὲ ἀφ' ἑαυτοῦ εἰδέναι, ἢ δύνασθαι, ἢ ποιεῖν τι ἀφ' ἑαυτοῦ· ἐπεὶ δὲ τὴν αὐτὴν φύσιν καὶ δύναμιν, ἣν ὁ Πατὴρ ἔχει, καὶ αὐτὸς ἔχει λαβὼν ἐκ Πατρός, εἰ καὶ ἀφ' ἑαυτοῦ οὐκ ἔστιν οὔτε ἀφ' ἑαυτοῦ ἐνεργεῖ, οὐδὲν ἧττον καὶ καθ' ἑαυτὸν ἔστι καὶ καθ' ἑαυτὸν ἐνεργεῖ· διὰ τοῦτο εἰπών· „Οὐ δύναται ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν", συνέζευξεν ὡς „ὅσα ἂν ἐκεῖνος ποιῇ, ὁ Πατὴρ δηλαδή, ταῦτα καὶ ὁμοίως ὁ Υἱὸς ποιεῖ".

Ὅτι δὲ ἐντέλλεται ὁ Πατὴρ τῷ Υἱῷ, ἢ τῷ Πατρὶ ὁ Υἱὸς ὑπακούει, ἢ εὔχεται τῷ Πατρί, ἢ ἀποστέλλεται παρὰ τοῦ Πατρός, προσήκουσι τῷ Υἱῷ ταῦτα πάντα καθό ἐστι τῷ Πατρὶ ὑποτεταγμένος, ὃ κατ' οὐδέν ἐστιν ἕτερον ἢ τὴν ληφθεῖσαν ἀνθρωπότητα. Καὶ τὸ δοξάζεσθαι δὲ καὶ ἀνίστασθαι καὶ ὑπερυψοῦσθαι καὶ τὰ τοιαῦτα κατὰ τὴν ἀνθρωπίνην φύσιν νοοῦνται. Οὐ γὰρ δεῖται τοῦ δοξασθῆναι ὥσπερ ἐκ νέου δόξαν λαμβάνων, ἐπεὶ πρὸ τοῦ κόσμου σχεῖν ταύτην ὁμολογεῖ, ἀλλ' ἔδει τὴν αὐτοῦ δόξαν ὑπὸ τῇ τῆς σαρκὸς ἀσθενείᾳ καλυπτομένην, τῇ δόξῃ πάλιν τῆς σαρκός, καὶ ταῖς ἐνεργείαις τῶν θαυμάτων φανερωθῆναι ἐν τῇ εὐσεβείᾳ τῶν πιστευόντων λαῶν.

Ἀνέστη δὲ καθὸ πέπονθε καὶ τέθνηκεν, ἤγουν κατὰ τὴν σάρκα, καὶ ὑψώθη καθὸ τεταπείνωτο, ὡς τὸ ἀποστολικὸν δείκνυσι λόγιον, οὐκ ἐλάττων δὲ τοῦ Πατρός, ἀνυψούμενος, ἢ δοξαζόμενος, | ἢ ἀνιστάμενος παρ' αὐτοῦ, f. 147 εἰ μὴ κατὰ τὴν ἀνθρωπίνην φύσιν. Κατὰ γὰρ τὴν θείαν, καθ' ἣν ἴσος ἐστὶ τῷ Πατρί, ἡ αὐτή ἐστιν ἀμφοῖν δύναμις καὶ μία ἐνέργεια. Ὅθεν καὶ αὐτὸς ἑαυτὸν τῇ ἰδίᾳ δυνάμει ὑψοῖ, ὡς ἐν τοῖς Ψαλμοῖς· „Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου"· καὶ ἀνίστησιν ἑαυτόν, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ πάλιν λαβεῖν αὐτήν". Καὶ οὐ μόνον ἑαυτόν, ἀλλὰ καὶ τὸν Πατέρα δοξάζει, ὡς ἐν τῷ· „Δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε". Δοξάζει δὲ τὸν Πατέρα, οὐ δόξαν αὐτῷ διδούς, ἀλλὰ φανερῶν αὐτὸν τῷ κόσμῳ, ὡς αὐτὸς αὐτόθι φησίν· „Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις".

Ἀδύνατον δὲ καὶ τὸν Υἱὸν τὴν ὥραν τῆς αὐτοῦ παρουσίας ἀγνοεῖν, ἐν ᾧ „οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι", ἀλλ' ὁ Υἱὸς ἐν τοῖς ἀνθρώποις ἄνθρωπος γεγονώς, ὡς ἂν ἀγνοοῦντα ἔδειξεν ἑαυτόν, οὐκ ἀποκαλύπτων τοῖς μαθηταῖς· συνήθης γάρ ἐστιν ὁ τρόπος οὗτος τοῦ λέγειν ἐν τῇ Γραφῇ, τὸ τὸν Θεὸν γινώσκειν τι λέγεσθαι, ὅτι γινώσκειν ποιεῖ, ὡς ἐν τῇ Γενέσει· „Νῦν ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεόν", τουτέστι νῦν γινώσκειν πεποίηκα. Οὕτως ἐκ τοῦ ἀντικειμένου ὁ Υἱὸς λέγεται ἀγνοεῖν, ὅτι ἡμᾶς ἀφίησιν ἀγνοεῖν.

Ἡ δὲ λύπη καὶ ὁ φόβος καὶ ἡ ὀργὴ καὶ τὰ ὅμοια, φανερὸν ὡς προσήκουσι τῷ Χριστῷ ὡς ἀνθρώπῳ, καὶ διὰ τούτων οὐδεμία ἐλάττωσις ἐν τῇ τοῦ Υἱοῦ θεότητι δύναται εἶναι.

---

5 Ioh. 5, 19 21 Ps. 20, 44 23 Ioh. 10, 18 24 Ioh. 17, 1 33 Gen. 22, 12

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὅτι δὲ ἐκ τοῦ Πατρός ἐστι καὶ παρ' αὐτοῦ ἔλαβεν, ἐξ οὗ καὶ τὰ κτίσματά εἰσι καὶ λαμβάνουσιν, πρωτότοκος εἴρηται· ἀλλ' αὐτὸς μὲν παρὰ τοῦ Πατρὸς τὴν αὐτὴν φύσιν λαμβάνει, τὰ κτίσμαμα δέ, οὐδαμῶς. Ὅθεν οὐ πρωτότοκος μόνον λέγεται, ἀλλὰ καὶ μονογενὴς διὰ τὸν ἰδιάζοντα τῆς λήψεως τρόπον.

Ὁ δὲ τῆς ἑνώσεως τρόπος, ὃν καὶ τοῖς μαθηταῖς ἐπεύχεται, οὐκ ἀναιρεῖ τὴν τῆς οὐσίας ἑνότητα, ἀλλὰ μᾶλλον αὐτὴν ἀποδείκνυσιν· λέγεται γὰρ ἐν τῷ κατὰ Ἰωάννην, ὅτι „ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα δέδωκεν αὐτῷ εἰς τὰς χεῖρας", δι' οὗ δείκνυται ἐν τῷ Υἱῷ εἶναι τὸ πλήρωμα τῆς θεότητος. Δῆλον οὖν οὕτως, ὡς αἱ γραφικαὶ μαρτυρίαι, αἱ τοῖς Ἀρειανοῖς
f. 147v ἁρπαζόμεναι, οὐ μάχονται τῇ ἀληθείᾳ, ἣν | ἡ καθολικὴ πίστις ὁμολογεῖ.

## IX.

Ἐπεὶ δὲ Φωτεινὸς καὶ Σαβέλλιος ὑπὲρ τῶν ἰδίων δοξῶν ἁρπάζουσί τινα ῥητὰ τῆς Γραφῆς, διὰ τῶν αὐτῶν ταῖς ἀποδοθείσαις τοῖς ἄλλοις ῥητοῖς ἐξηγήσεσιν ἐλεγκτέον αὐτούς. Διὰ τῶν αὐτῶν γὰρ καὶ ἡ Σαβελλίου καὶ Φωτεινοῦ καὶ Ἀρείου αἵρεσις καταισχύνεται.

## X. — Λόγοι περὶ τὴν θείαν γέννησιν καὶ πρόοδον.

Δῆλον μὲν οὖν ἐξ ὧν ἡ πίστις κηρύττει ἐν ταῖς γραφαῖς, ὡς ὁ Πατὴρ καὶ Υἱός, εἰ καὶ τοῖς προσώποις διακρίνονται, εἷς μέντοι Θεός εἰσι καὶ μίαν ἔχουσιν οὐσίαν καὶ φύσιν. Ἐπεὶ δὲ λίαν ἐστὶ τῆς τῶν κτισμάτων φύσεως πορρώτατον τὸ δύο τινὰ διακεκρίσθαι μὲν τῷ ὑποκειμένῳ, μίαν μέντοι τούτων οὐσίαν ὑπάρχειν, ἐκ τῶν τῆς φύσεως ἰδιωμάτων ὁ ἀνθρώπινος λόγος προϊών, πολλαχῶς καὶ πολλὴν δυσχέρειαν πάσχει περὶ τὸ μυστήριον τῆς θείας γεννήσεως. Ἐπεὶ γὰρ ἡ ἡμῖν ἐγνωσμένη γέννησις μεταβολή τις ἐστίν, ᾗ ἀντίκειται πάντως φθορά, δυσχερὲς δοκεῖ γέννησιν ἐπὶ Θεοῦ τίθεσθαι, ὅς ἐστιν ἀμετάβλητος καὶ ἀΐδιος καὶ ἄφθαρτος.

Ἔτι, εἰ γεννητός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, οὐκ ἔστιν ἀΐδιος, ὡς ἐκ δυνάμεως εἰς ἐνέργειαν προϊών· ἀλλ' οὐδὲ Θεὸς ἀληθής, ὅτι μηδὲ ἐνέργειά ἐστι καθαρά.

Ἔτι, εἰ δέχοιτο τὴν φύσιν ἐκ τοῦ Θεοῦ καὶ Πατρός, ἀνάγκη ἐν αὐτῷ ἄλλο μὲν εἶναι τὸ δεχόμενον, ἄλλο δὲ τὸ ἐγγινόμενον· οὐδὲν γὰρ δέχεται ἑαυτό. Ὁ Υἱὸς ἄρα οὐκ ἔστιν ἡ οὐσία ἢ ἡ φύσις αὐτοῦ· οὐδ' ἄρα Θεὸς ἀληθής.

Ἔτι, πᾶν τὸ πρός τι ἀναφερόμενον ἤρτηται τοῦ πρὸς ὃ ἀναφέρεται· τὸ δὲ ἑτέρου ἠρτημένον οὐκ ἂν εἶναι δύναιτο Θεὸς ἀληθής, καὶ οὕτως εἰ τὸ πρόσωπον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἀναφοραῖς διακρίνονται, οὐδέτερος ἔσται Θεὸς ἀληθής.

Ἔτι, αἱ ἀντικείμεναι κατηγορίαι πλῆθος δεικνύουσιν ἐν ἐκείνῳ καθ' οὗ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κατηγοροῦνται· τοῦ δὲ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ Υἱοῦ τὰ ἀντικείμενα κατηγοροῦνται· ὁ γὰρ Πατήρ, ἀγέννητος Θεὸς καὶ γεννῶν· ὁ δὲ Υἱὸς Θεὸς γεννητός. Οὐκ ἄρα εἷς Θεὸς ἄμφω.

Ἐκ τούτων καὶ τῶν ὁμοίων τινές, τῷ ἰδίῳ λόγῳ θέλοντες τὰ θεῖα μετρεῖν μυστήρια, ἐπιχειροῦσι μάχεσθαι τῇ θείᾳ γεννήσει. Ἀλλ' ἐπεὶ ἡ ἀλήθεια καθ' ἑαυτήν ἐστιν ἰσχυρά, καὶ οὐδεμιᾷ μάχῃ ταραττομένη, ἀνάγκη σκοπεῖν, ὅπως δείξομεν τὴν τῆς πίστεως ἀλήθειαν ὑπὸ λόγων μὴ δύνασθαι νικηθῆναι.

## XI. — Πῶς νοεῖται ἡ γέννησις ἐν τοῖς θείοις, καὶ περὶ τῶν ἐν γραφαῖς περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ λεγομένων.

Τὴν δ' ἀρχὴν τοῦ σκοποῦ τούτου ἐντεῦθεν προσήκει λαβεῖν ἐν τοῖς πράγμασιν. Ὁ τῆς προόδου διάφορος τρόπος κατὰ τὴν τῶν φύσεων ἐστὶ διαφοράν, καὶ ὅσῳ τις | φύσις ὑψηλοτέρα ἐστίν, τοσούτῳ τὸ ἐξ αὐτῆς f. 148
προϊὸν μᾶλλόν ἐστιν αὐτῆς ἔνδον, ὃ δῆλον ἐπιοῦσιν ἕκαστα, ἀρχομένοις ἀπὸ τῶν ἀψύχων, καὶ διὰ τῶν φυτῶν ἐπὶ τὰ αἰσθήσει ζῶντα ἀνιοῦσιν. Πῦρ μὲν γὰρ ἐκ πυρὸς γεννᾶται, τοῦ ἔξωθεν σώματος ὑπὸ πυρὸς μεταβαλλομένου· φυτὸν δὲ ἐκ φυτοῦ γίνεται, τοῦ ἔνδον ὀποῦ τοῦ φυτοῦ εἰς σπέρμα μεταβαλλομένου κἀκείνου τοῦ σπέρματος τῇ γῇ διδομένου· τῆς δὲ αἰσθητικῆς ζωῆς ἡ πρόοδος, εἰ καὶ ἐκ τῶν ἔξωθεν ἄρχεται, ἀλλ' ἔνδον τελευτᾷ τοῦ ἔξωθεν αἰσθητοῦ τὸ ἴδιον εἶδος ἐκτιθεμένου ταῖς αἰσθήσεσιν, καὶ μετὰ ταύτας ἐπὶ τὴν φαντασίαν καὶ τοὺς τῆς μνήμης ἔτι θησαυροὺς παραπέμποντος. Ὁ τῆς ζωῆς τοίνυν ταύτης βαθμὸς τελειότερος μὲν τῆς ἐν τοῖς φυτοῖς, ὅσῳ μᾶλλον ἔνδον ἡ τῆς ζωῆς ταύτης ἐνέργεια περιέχεται· οὐ μέντοι τέλειός ἐστι παντελῶς· ἀεὶ γὰρ ἡ πρόοδος ἀφ' ἑνός ἐστιν εἰς ἕτερον, καὶ οὐδεμία δύναμις αἰσθητικὴ εἰς ἑαυτὴν ἐπιστρέφει.

Ἄκρος τοίνυν καὶ τέλειος βαθμὸς ζωῆς, ὁ κατὰ τὸν νοῦν. Ὁ γὰρ νοῦς εἰς ἑαυτὸν ἐπιστρέφει, καὶ ἑαυτὸν νοεῖν δύναται. Ἀλλὰ καὶ τῆς νοερᾶς ζωῆς διάφοροι τάξεις· ὁ μὲν γὰρ ἀνθρώπινος νοῦς, εἰ καὶ ἑαυτὸν γινώσκειν δύναται, ἀλλὰ τὴν ἀρχὴν ἔξωθεν λαμβάνει τῆς γνώσεως, ἐπειδὴ ἄνευ φαντάσματος οὐχ οἷόν τέ ἐστι νοεῖν. Τελειοτέρα δὲ ἡ ἐν ταῖς κεχωρισμέναις οὐσίαις ζωή· ἐκεῖ γὰρ ὁ νοῦς ἑαυτὸν δι' ἑαυτοῦ νοεῖ, οὐ διὰ φαντάσματος. Ἀλλ' εἰ καὶ παντελῶς ἐστιν ἔνδοθεν οὕτως ἡ νόησις αὐτῶν, οὐ μέντοι ἡ νόησις αὐτῶν ἐστιν ἡ οὐσία αὐτῶν, ὥσπερ οὐδὲ τὸ εἶναι αὐτῶν καὶ τὸ νοεῖν, ταὐτόν. Ἡ ἐσχάτη τοίνυν τῆς νοερᾶς ζωῆς τελειότης τῷ Θεῷ μόνῳ προσήκει, ἐν ᾧ οὐχ ἕτερον τὸ νοεῖν παρὰ τὸ εἶναι. Οὕτω τοίνυν τὸ νοηθὲν νόημα ἐν τῷ Θεῷ αὐτή ἐστιν ἡ θεία οὐσία, λέγω δὲ νόημα νοηθέν, ὅπερ ὁ νοῦς ἐν ἑαυτῷ συλλαμβάνει περὶ τοῦ νοηθέντος πράγματος, ὅπερ ἐν ἡμῖν οὐκ ἔστι ταὐτὸν καὶ τὸ νοούμενον πρᾶγμα, οὔτ' αὐτὴ ἡ οὐσία τοῦ νοῦ, ἀλλ' ἔστιν ὥσπερ τις τοῦ νοηθέντος πράγ-

Ε.Υ.Δ της Κ.Ε.Π
ΙΩΑΝΝΙΝΑ 2006

ματος ὁμοιότης ἐν τῷ νῷ συλληφθεῖσα, ἣν σημαίνουσιν αἱ ἔξωθεν φωναί. Ὅθεν καὶ αὐτὸ τὸ νόημα λόγος ἐνδιάθετος ὀνομάζεται, ὅστις τῷ ἔξωθεν λόγῳ σημαίνεται. Καὶ ὅτι τὸ προειρημένον νόημα ἐν ἡμῖν οὐκ ἔστιν αὐτὸ τὸ νοούμενον πρᾶγμα, δῆλον· ἄλλο γάρ ἐστι τὸ νοεῖν τὸ f. 148v πρᾶγμα, | καὶ ἄλλο τὸ νοεῖν τὸ νοούμενον νόημα, ὅπερ ὁ νοῦς ποιεῖ, ὅταν εἰς τὸ ἑαυτοῦ ἔργον ἐπιστρέφῃ. Ὅθεν καὶ ἕτεραί εἰσιν ἐπιστῆμαι τῶν πραγμάτων αὐτῶν, καὶ ἕτεραι τῶν νοουμένων νοημάτων. Ὅτι δὲ τὸ τοιοῦτον νόημα οὐδ' αὐτός ἐστιν ὁ νοῦς ἐν ἡμῖν, φανερὸν ἐκ τοῦ τὸ μὲν εἶναι τοῦ νοουμένου νοήματος ἐν αὐτῷ συνίστασθαι τῷ νοεῖσθαι, οὐ μέντοι τὸ εἶναι τοῦ ἡμετέρου νοῦ, οὗ τὸ νοεῖν οὐκ ἔστιν αὐτὸ τὸ εἶναι αὐτοῦ. Ἐπεὶ τοίνυν ἐν τῷ Θεῷ ταὐτόν ἐστι τὸ εἶναι καὶ τὸ νοεῖν, αὐτός ἐστιν ὁ νοῦς αὐτοῦ τὸ ἐν αὐτῷ νοηθὲν νόημα αὐτοῦ· καὶ ἐπεὶ ὁ νοῦς ἐν αὐτῷ τὸ νοηθέν ἐστι πρᾶγμα· τῷ γὰρ νοεῖν ἑαυτὸν τὰ ἄλλα νοεῖ· λείπεται ἐν τῷ Θεῷ ἑαυτὸν νοοῦντι ταὐτὸν εἶναι τόν τε νοοῦντα νοῦν καὶ τὸ νοητὸν πρᾶγμα καὶ τὸ νοούμενον νόημα. Κατὰ ταύτην τοίνυν τὴν νοερὰν πρόοδον δεῖ νοεῖσθαι τὴν θείαν γέννησιν. Ἀδύνατον γὰρ κατὰ τὰς ἄλλας προόδους τῶν ἀτελεστέρᾳ ζωῇ ζώντων. Τοῦτο δὲ οὕτω σαφηνισθῆναι προσήκει. Ὁ Θεὸς νοεῖ ἑαυτόν, ὡς ἐδείχθη· τὸ δὲ νοητὸν καθὸ νοεῖται ἐν τῷ νοοῦντί ἐστιν· ἀνάγκη τοίνυν τὸν Θεὸν ἐν ἑαυτῷ εἶναι ὡς νοούμενον ἐν τῷ νῷ. Τὸ δὲ νοούμενον ἐν τῷ νοοῦντι τὸ νοούμενόν ἐστι νόημα, ὃ καὶ λόγος ἐστὶ κρύφιος. Ἔστιν ἄρα ἐν τῷ Θεῷ νοοῦντι ἑαυτὸν Λόγος Θεοῦ, ὥσπερ Θεὸς νοητός, ὥσπερ ὁ τοῦ λίθου λόγος ἐν τῷ νῷ ἐστι λίθος νοητός. Κἀντεῦθέν ἐστι τὸ ἐν τῷ κατὰ Ἰωάννην· „Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν“.

Ἐπεὶ δ' ὁ θεῖος νοῦς οὐ μόνον ἐστὶν ἐνεργείᾳ, ἀλλὰ καὶ αὐτός ἐστιν ἐνέργεια καθαρά, ἡ οὐσία τοῦ θείου νοῦ αὐτό ἐστι τὸ νοεῖν αὐτοῦ, ὅπερ ἐστὶν ἐνέργεια τοῦ νοῦ. Τὸ δὲ εἶναι τοῦ ἔνδον συλληφθέντος λόγου, ἢ τοῦ νοηθέντος νοήματος, αὐτό ἐστι τὸ νοεῖσθαι αὐτοῦ. Ταὐτὸν ἄρα ἐστὶ τὸ εἶναι τοῦ θείου λόγου καὶ τοῦ θείου νοῦ, καὶ ἀκολούθως αὐτοῦ τοῦ Θεοῦ, ὅς ἐστι νοῦς ἑαυτοῦ. Τὸ δ' εἶναι τοῦ Θεοῦ αὐτό ἐστιν ἡ οὐσία ἢ ἡ φύσις αὐτοῦ, ἥτις ταὐτόν ἐστι τῷ Θεῷ, ὡς ἐδέδεικτο. Ὁ ἄρα λόγος τοῦ Θεοῦ αὐτό ἐστι τὸ θεῖον εἶναι καὶ ἡ οὐσία αὐτοῦ, καὶ αὐτὸς ὁ ἀληθὴς Θεός.

Ἐντεῦθέν ἐστιν ὃ λέγεται ἐν τῷ κατὰ Ἰωάννην· !„Καὶ Θεὸς ἦν ὁ Λόγος“· ὅπερ, ἐπεὶ ἀπολελυμένως λέγεται, δείκνυσι τὸν τοῦ Θεοῦ Λόγον ἀληθῆ Θεὸν ὀφείλειν νοεῖσθαι. Ὁ δὲ τοῦ ἀνθρώπου λόγος οὐ δύναται ἀπολελυμένως ἄνθρωπος λέγεσθαι, ἀλλὰ κατά τι, τουτέστιν ἄνθρωπος νοητός. Ἐπεὶ τοίνυν λέγεται· „Θεὸς ἦν ὁ Λόγος“, δείκνυται τὸν θεῖον Λόγον οὐ f. 149 μόνον νοηθὲν νόημα | εἶναι, ὥσπερ τὸν ἡμέτερον λόγον, ἀλλὰ πρᾶγμα, καὶ φύσιν οὖσαν καὶ ὑφεστῶσαν. Ὁ γὰρ ἀληθὴς Θεὸς ὑφεστώς ἐστιν, καὶ μάλιστα ὡς καθ' αὑτὸν ὤν. Οὐχ οὕτω δέ ἐστιν ἡ τοῦ Θεοῦ φύσις ἐν τῷ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Λόγῳ ὡς μία μὲν τῷ εἴδει, διαφέρουσα δὲ τῷ ἀριθμῷ· οὕτω γὰρ ὁ Λόγος ἔχει τὴν τοῦ Θεοῦ φύσιν ὥσπερ τὸ νοεῖν αὐτοῦ ἐστι τὸ εἶναι αὐτοῦ· τὸ δὲ νοεῖν ἐστι τοῦ Θεοῦ αὐτὸ τὸ θεῖον εἶναι. Ὁ Λόγος ἄρα αὐτὴν ἔχει τὴν θείαν οὐσίαν οὐ μόνον τῷ εἴδει, ἀλλὰ καὶ τῷ ἀριθμῷ τὴν αὐτήν, καὶ διὰ τοῦτο ὁ τοῦ Θεοῦ Λόγος καὶ ὁ Θεὸς οὐκ εἰσὶ δύο θεοί, ἀλλ' εἷς Θεός. Ὑπολείπεται μέντοι ἡ τῆς ἀναφορᾶς μόνης διάκρισις, καθόσον ὁ Λόγος ἀναφέρεται πρὸς τὸν οὗ ἐστι λόγος ὡς πρὸς τὸν ἐξ οὗ ἔστιν· πρόεισι γὰρ ὁ ἔνδοθεν λόγος ἐκ τοῦ νοοῦντος, καὶ ὥσπερ τις ὅρος ἐστὶ τῆς νοερᾶς ἐνεργείας. Ὁ γὰρ νοῦς ἐν τῷ νοεῖν συλλαμβάνει καὶ εἰδοποιεῖ τὸ νόημα ἢ τὸν λόγον τὸν νοηθέντα, ὅς ἐστιν ἀπόκρυφος λόγος· καὶ διὰ τοῦτο ἐκ τοῦ Θεοῦ κατὰ τὸ νοεῖν αὐτοῦ πρόεισιν ὁ θεῖος Λόγος, καὶ ἔστι πρὸς τὸν Θεὸν ὡς πρὸς τὸν ἐξ οὗ ἔστιν. Καὶ ταύτην τὴν διάκρισιν τῆς προόδου ἐμφαίνων ὁ εὐαγγελιστής, ἐπάγει· „Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν", ὥσπερ ἂν εἰ εἶπεν· „Οὗτος, ὃν ἔφην εἶναι Θεόν, λόγον ὄντα Θεοῦ, διακεκριμένος ἐστὶ τοῦ Θεοῦ κατά τινα τρόπον, ὥσθ' οὕτω δύνασθαι λέγεσθαι πρὸς τὸν Θεὸν εἶναι". Ἐπεὶ δὲ ὁ Θεὸς καὶ ἑαυτὸν καὶ τὰ ἄλλα νοεῖ, ὡς εἴρηται, τὸ νοεῖν αὐτοῦ ἀρχή ἐστι τῶν ὑπ' αὐτοῦ νοουμένων πραγμάτων, ὅτι αὐτός ἐστιν αὐτῶν αἴτιος διὰ νοῦ καὶ βουλήσεως. Πρὸς δὲ τὸ νοητόν, ὅπερ ἐστὶν αὐτός, ὡς πρὸς ἀρχὴν παραβάλλεται· ἔστι γὰρ τὸ νοητὸν τοῦτο ταὐτὸν τῷ νοοῦντι νῷ, οὗτινος ὥσπερ τις ἀπόρροιά ἐστιν ὁ συλληφθεὶς λόγος. Καὶ διὰ τοῦτο ὁ τοῦ Θεοῦ Λόγος πρὸς τὰ ὑπὸ τοῦ Θεοῦ νοούμενα πράγματα παραβάλλεται ὥσπερ παράδειγμα· πρὸς δὲ τὸν Θεόν, οὗ ἐστι λόγος, ὥσπερ εἰκὼν αὐτοῦ· ὡς ἐν τῇ πρὸς Κολασσαεῖς λέγεται, ὅτι „εἰκών ἐστι τοῦ Θεοῦ τοῦ ἀοράτου". Καὶ διότι εἰκών ἐστι κατὰ τὴν οὐσίαν τοῦ Θεοῦ, ἐν τῇ πρὸς Ἑβραίους λέγεται, ὅτι „ἐστὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ".

Διχῶς δέ ἐστιν ἡ εἰκών, ἢ κατὰ τὰ συμβεβηκότα, ὥσπερ ὁ χαλκοῦς ἀνδριὰς εἰκών ἐστι τοῦ ἀνθρώπου, οὐκ ἄνθρωπος· ἢ κατὰ τὴν οὐσίαν, ὡς τὴν αὐτὴν ἔχουσα φύσιν τῷ οὗ ἐστιν εἰκών, ὡς ὁ τοῦ βασιλέως υἱός, ἐν ᾧ ἡ τοῦ πατρὸς εἰκὼν φαίνεται, | τῆς αὐτῆς ὢν αὐτῷ φύσεως. Δέδεικ- f. 149v
ται δὲ τὸν τοῦ Θεοῦ Λόγον εἰκόνα εἶναι τοῦ λέγοντος κατ' αὐτὴν τὴν φύσιν ἐκείνου, καὶ ὅτι τῆς αὐτῆς κοινωνεῖ τῷ λέγοντι φύσεως. Λείπεται τοίνυν τὸν τοῦ Θεοῦ Λόγον μὴ μόνον εἰκόνα εἶναι, ἀλλὰ καὶ Υἱόν· ἀδύνατον γὰρ εἰκόνα τινὰ τῆς αὐτῆς οὖσαν αὐτῷ φύσεως μὴ καὶ υἱὸν τὴν αὐτὴν δύνασθαι λέγεσθαι· ἐν μόνοις γὰρ τοῦτο τοῖς ζῶσιν. Τὸ γὰρ ἔκ τινος ζῶντος κατὰ τὸ εἶδος αὐτοῦ προϊὸν υἱὸς λέγεται.

---

**24** Col. 1, 15 **25** Heb. 1, 3 **30** *αὐτῷ* corrigé de *αὐτῇ* A **34** *εἰκόνα τινά*: *εἰκόνος τινὸς* A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐντεῦθέν ἐστι τὸ ἐν τοῖς Ψαλμοῖς· „Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ". Ἀνάγκη οὖν διὰ τοῦτο καὶ φύσει παρ' αὐτοῦ προϊέναι καὶ γεννᾶσθαι· κἀντεῦθέν ἐστι τὸ ἐν τοῖς Ψαλμοῖς· „Ἐγὼ σήμερον γεγέννηκά σε", ἐν τῇ ἀεὶ οὔσῃ δηλαδὴ ἀϊδιότητι, ἥτις ἀεὶ ἐνεστῶσά ἐστιν, καὶ μηδένα λόγον ἔχουσα παρελθόντος ἢ μέλλοντος. Ἐπεὶ δὲ ἡ γέννησις αὕτη οὔτε ἐξ ὕλης ἐστίν, οὔτε ἐκ δυνάμεως εἰς ἐνέργειαν ἔξεισιν, οὔτε ἡ τοῦ γεννῶντος Θεοῦ δύναμις δύναται ἀσθενεῖν, ἄπειρος οὖσα, οὐκ ἔστιν ἐλάττων τοῦ Πατρὸς ἐν τῷ γεννᾶσθαι, ἀλλ' ἴσος αὐτῷ· κἀντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Φιλιππησίους, ὅτι „οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ"· καὶ τὸ ἐν τῷ κατὰ Ἰωάννην, ὅτι „Ἰησοῦς Πατέρα ἑαυτοῦ ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ".

Μένει δὲ ἐν τῷ Θεῷ, οὐχ ὥσπερ τὰ σωματικῶς γεννώμενα ἀφίστανται τοῦ γεγεννηκότος, ἀλλ' ἕως ἂν ᾖ μόνον ἐν τῷ συνειλῆφθαι μένουσιν ἐν τῷ γεννῶντι. Διὰ τοῦτο ἐν ταῖς παροιμίαις ἡ σοφία φησὶ τοῦ Θεοῦ περὶ ἑαυτῆς· „Οὔπω ἦσαν ἄβυσσοι, καὶ ἐγὼ συνελήφθην". Ἐπεὶ δὲ ταὐτόν ἐστιν ἐκεῖ τόκος καὶ σύλληψις, διὰ τοῦτο μετ' ὀλίγα πρόσκειται ἐκεῖ· „Πρὸ τῶν βουνῶν ἐγὼ ἐτικτόμην"· ἀϊδίως τε γὰρ συνελήφθη, καὶ ἀϊδίως ἐτέχθη ὁ θεῖος Λόγος, οὐχ ὡς ἐν τῇ σωματικῇ γεννήσει προηγεῖται μὲν ἡ σύλληψις τοῦ τόκου πολύ, χωρίζεται δὲ τοῦ τέξαντος τὸ τεχθέν, ἐπειδὰν τελειωθὲν ἀποτεχθῇ, ἕως ἂν ἀτελὲς ᾖ συνειλημμένον τῇ γαστρὶ καὶ περικλειόμενον. Ἵνα δὲ τὸ ταὐτὸν τῆς συλλήψεως καὶ τοῦ τόκου καὶ τὸ συναΐδιον καὶ ἡ τελειότης δειχθῇ, καὶ ἵνα μὴ νοοῖτο ὡς, ὅτε συνελαμβάνετο καὶ ἐτίκτετο, οὔπω ἦν, πρόσκειται· „Ὅτε ἡτοίμαζε τοὺς οὐρανοὺς συμπαρήμην". Καὶ ἐπεὶ τὸ τικτόμενον προϊὸν ἐκ γαστρὸς διακρίνεται, καὶ τόκος λέγεται, πρὸς
f. 150 παράστασιν | τοῦ τελείως διακεκρίσθαι εἴρηται ἐν Ψαλμοῖς· „Τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε". Ἐπεὶ δὲ τὸ διακεκρίσθαι τὸν λόγον τοῦ γεννῶντος αὐτὸν νοῦ οὐκ ἐμποδίζει τὸ τὸν λόγον ἐν τῷ λέγοντι εἶναι, πρὸς παράστασιν τοῦ μὴ κεχωρίσθαι ἀλλ' εἶναι ἐν τῷ λέγοντι εἴρηται ἐν τῷ κατὰ Ἰωάννην, ὅτι „ἐν τῷ κόλπῳ ἐστὶ τοῦ Πατρός". Ἐπεὶ δὲ ὁ θεῖος νοῦς ἐνεργείᾳ μόνον ἐστίν, καὶ ἡ τοῦ Λόγου πρόοδος ἀπ' αὐτοῦ κατ' οὐδεμίαν παθητικήν ἐστι δύναμιν, τὰ ἐν τῇ σωματικῇ γεννήσει διακεκριμένως τῷ πατρὶ καὶ τῇ μητρὶ ἁρμόζοντα, τῷ μὲν κατὰ τὴν ἐνεργητικὴν δύναμιν, τῇ δὲ κατὰ τὴν παθητικήν, πάντα ἐν τῇ τοῦ Λόγου γεννήσει τῷ Πατρὶ ἀποδίδονται ἐν ταῖς θείαις γραφαῖς, ὥσπερ ἐνεργητικῶς πάντα νοούμενα. Λέγεται γὰρ ὁ Πατὴρ καὶ διδόναι τῷ Υἱῷ ζωὴν καὶ συλλαμβάνειν καὶ τίκτειν.

---

1 Ps. 2, 7 3 Ps. 2, 7 9 Phil. 2, 6 10 Ioh. 5, 18 15 Prov. 8, 24 16 Prov. 8, 25 23 Prov. 8, 27 25 Ps. 109, 3 27 *τὸ τὸν λόγον: τῷ* A 29 Ioh. 1, 18

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XII. — Ὅπως Θεοῦ σοφία λέγεται ὁ Υἱὸς τοῦ Θεοῦ.

Ἐπεὶ δὲ κατὰ τὴν τῆς σοφίας ἕξιν ἐν ἡμῖν τοῖς ἀνθρώποις εἰδοποιεῖταί τις περὶ τῶν θείων ἐν τῷ ἡμετέρῳ νῷ σύλληψις, αὐτὴ ἡ τοῦ νοῦ σύλληψις, ἥπερ ἐστὶν ὁ ἔνδον λόγος, τὸ τῆς σοφίας λαμβάνειν εἴωθεν ὄνομα, ὃν τρόπον αἱ ἐνέργειαι καὶ τὰ εἴδη τοῖς ὀνόμασι τῶν ἕξεων, ἀφ' ὧν προΐασιν, ὀνομάζονται. Τὸ γὰρ δικαίως γινόμενον δικαιοσύνη πολλάκις λέγεται, καὶ τὸ ἀνδρείως, ἀνδρία, καὶ καθόλου τὸ κατ' ἀρετήν, ἀρετή, καὶ τὸ σοφῶς νοούμενον οὕτω σοφία τινὸς λέγεται. Ἐν δὲ τῷ Θεῷ σοφία μέν ἐστιν καθὸ ἑαυτὸν γινώσκει, ἕξις δὲ οὐκ ἔστιν αὐτὴ ἡ σοφία ἐν τῷ Θεῷ, ἀλλ' ἡ οὐσία αὐτοῦ. Ἀλλ' ὁ Υἱὸς τοῦ Θεοῦ λόγος ἐστὶν αὐτοῦ καὶ ὥσπερ τις τόκος ἑαυτὸν νοοῦντος· οὐκοῦν, ὡς σοφῶς τῷ θείῳ νῷ συλληφθεὶς ἢ γεννηθείς, καὶ σοφία λέγεται, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Αὐτὸν τὸν Χριστὸν Θεοῦ σοφίαν" ὁ Ἀπόστολος ὀνομάζει.

Ἐπεὶ δὲ ὁ λόγος φανέρωσίς τις ἐστὶ τῆς τοῦ νοοῦντος σοφίας, καὶ διὰ τοῦτο φῶς λέγεται ἡ θεία σοφία, καθόσον ἐν καθαρᾷ γνώσεως ἐνεργείᾳ συνίσταται. Ἡ δὲ τοῦ φωτὸς φανέρωσις ἀπαύγασμά ἐστιν αὐτοῦ, καὶ ἐξ αὐτοῦ πρόεισιν, εἰκότως καὶ ὁ τῆς σοφίας λόγος ἀπαύγασμα φωτὸς ὀνομάζεται, ὡς ὁ Ἀπόστολος λέγει· „Ὃς ὢν ἀπαύγασμα τῆς δόξης"· ὅθεν καὶ ὁ Υἱὸς τὴν τοῦ Πατρὸς φανέρωσιν ἑαυτῷ ἐπιγράφει, λέγων· „Πάτερ, ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις". Ὅμως, εἰ καὶ ὁ Υἱός, τοῦ Θεοῦ λόγος ὤν, ἰδίως καλεῖται σοφία, ἀλλ' ἀπολελυμένως τὸ τῆς σοφίας ὄνομα κοινὸν Πατρὶ καὶ Υἱῷ· ἡ γὰρ διὰ | τοῦ Λόγου ἐκλάμπουσα f. 150v
σοφία ἡ τοῦ Πατρός ἐστιν οὐσία, ὡς εἴρηται· ἡ δ' οὐσία τοῦ Πατρὸς αὐτῷ καὶ τῷ Υἱῷ ἐστι κοινή.

## XIII. — Ὅτι εἷς μόνος υἱὸς ἐν τοῖς θείοις.

Ἐπεὶ δ' ὁ Θεὸς νοεῖ μὲν ἑαυτὸν μιᾷ καὶ ἁπλῇ ἐπιβολῇ διὰ τὸ τὸ νοεῖν αὐτοῦ ὑπάρχειν τὸ εἶναι αὐτοῦ, νοῶν δὲ ἑαυτὸν τὰ ἄλλα νοεῖ, ἀνάγκη τὸν αὐτοῦ Λόγον ἕνα μόνον εἶναι. Ἐπεὶ δὲ ἡ τοῦ Λόγου σύλληψις αὐτή ἐστιν ἡ τοῦ Υἱοῦ γέννησις, λείπεται καὶ μίαν γέννησιν εἶναι καὶ υἱὸν ἕνα· διὸ καὶ μονογενὴς ἐν τῷ κατὰ Ἰωάννην ὁ Υἱὸς τοῦ Θεοῦ λέγεται. Εἰ δὲ καὶ ὁ Υἱὸς νοεῖ ἑαυτόν, ἀλλ' οὐκ ἀνάγκη λόγον αὐτῷ ἀποδίδοσθαι, κἀκείνῳ τῷ λόγῳ, λόγον ἕτερον ὁμοίως, καὶ τοῦτο ἐπ' ἄπειρον, ἵνα ἄπειροι υἱοὶ ὦσι καὶ γεννήσεις ἄπειροι. Ὥσπερ γὰρ ὁ Λόγος οὐκ ἔστιν ἕτερος Θεὸς παρὰ τὸν γεννῶντα Θεὸν ἢ λέγοντα, οὕτως οὐδὲ ἕτερος νοῦς, καὶ ἀκολούθως οὐδ' ἕτερόν ἐστι τὸ νοεῖν αὐτοῦ, ὥστε οὐδὲ ἕτερος ἐξ αὐτοῦ πρόεισι λόγος. Ἀλλ' οὐδὲ ἑαυτοῦ Λόγος ἐστὶ νοῶν ἑαυτόν· τὸ γὰρ εἶναι λόγον ἐκ τοῦ Θεοῦ ἰδίως ἐπιγράφεται τῷ Πατρί, καὶ τὸ ἐκ Θεοῦ λέγοντος

18 Heb. 1, 3 20 Ioh. 17, 5



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἶναι ἰδίως ἐπιγράφεται τῷ Υἱῷ. Ἀλλ' οὐδ' ἔστιν ἀδύνατος, μὴ δυνάμενος γεννῆσαι καὶ αὐτὸς υἱόν. Ἐκ γὰρ τῆς αὐτῆς δυνάμεως ἐστὶ καὶ τὸ τὸν λόγον συλλαμβάνεσθαι καὶ τὸ τὸν λέγοντα συλλαμβάνειν, τουτέστι τὸ τὸν Πατέρα γεννᾶν, καὶ τὸν Υἱὸν γεννᾶσθαι. Ἀλλ' ὁ Πατὴρ γεννητικὴν ἔχει μόνον τὴν δύναμιν ταύτην πρὸς τὸ γεννᾶν, καὶ ὁ Υἱὸς πρὸς τὸ γεννᾶσθαι μόνον τὴν αὐτὴν ἔχει δύναμιν.

Λέγεται δὲ ὁ Υἱὸς ἐν τῇ πρὸς Ἑβραίους „φέρειν τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ", τουτέστι τῷ Λόγῳ, διότι τὸ ἐκ τοῦ λόγου γινόμενον τὸ ὄνομα τοῦ λόγου λαμβάνει, ὥσπερ καὶ ἡ τῆς θείας σοφίας ἐν τοῖς κτίσμασι διὰ τῶν ἔργων ἀνάπτυξις σοφία Θεοῦ λέγεται, ὡς ἐν τῷ Ἐκκλησιαστῇ· „Αὐτὸς ἔκτισε τὴν σοφίαν πνεύματι ἁγίῳ"· καὶ ἐπ' ἀνθρώπων σοφία λέγεται οὐ μόνον ἡ ἕξις ᾗ ἐστι σοφός τις, ἀλλὰ καὶ τὸ σοφῶς νοούμενον ὑπ' αὐτοῦ, καὶ τὸ σοφῶς ἔτι ποιούμενον· καὶ ἡ ἔκφανσις τοῦ λόγου λόγος καλεῖται, ὅτι δεκτικὴ τοῦ ἔνδον λόγου ἐστίν, ὥσπερ λόγος λόγου. Οὕτω τοίνυν καὶ ἡ τοῦ θείου τόκου διὰ τῶν ἔξωθεν ἔργων ἐξάπλωσις λόγος καὶ ῥῆμα ὀνομάζεται τοῦ λόγου· ἔστι δὲ ὁ τοῦ Θεοῦ Λόγος καὶ τῶν ὄντων λόγος, ἀλλὰ οὐ τὸν αὐτὸν τρόπον· τοῦ μὲν γὰρ Θεοῦ Λόγος ἐστὶν ὡς ἐξ αὐτοῦ προϊών, κατὰ τὰ εἰρημένα· τῶν δὲ ἄλλων
f. 151 ὡς αἰτία καὶ λόγος τοῦ εἶναι αὐτὰ τέλειος. | Πῶς δὲ τῶν καθ' ἕκαστα λόγος ἐστίν, φανερόν ἐστιν ἐξ ὧν ἐν τῷ πρώτῳ βιβλίῳ ἐδείκνυμεν τὸν Θεὸν γνῶσιν ἔχειν ἰδίαν ἑκάστου τῶν ὄντων. Ἐπεὶ οὖν ὁ διὰ νοῦ ποιῶν ἐνεργεῖ διὰ τοῦ λόγου τῶν ἔργων, ὃν ἔχει παρ' ἑαυτῷ, ὁ δὲ Θεὸς οὐκ ἀνάγκῃ φύσεως, ἀλλὰ διὰ νοῦ καὶ βουλήσεως ἐδείχθη ποιῶν, διὰ τοῦτο πάντα πεποιηκέναι λέγεται ὁ Θεὸς διὰ τοῦ Λόγου αὐτοῦ, ὅς ἐστι καὶ λόγος τῶν ὑπ' αὐτοῦ γεγεννημένων, ὡς εἴρηται. Καὶ τοῦτ' ἔστι τό· „Πάντα δι' αὐτοῦ ἐγένετο", καὶ τό· „Εἶπεν ὁ Θεός· γεννηθήτω φῶς, καὶ ἐγένετο φῶς", καὶ περὶ τῶν ἄλλων, ἃ περιέλαβεν ὁ ψαλμῳδὸς ἐν τῷ· „Αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν", τουτέστι λόγον προήνεγκε, δι' οὗ εἰς τὸ εἶναι πάντα παρήγαγεν, ὡς διὰ λόγου τῶν πραγμάτων τελείου. Ἐπεὶ δὲ ταὐτόν ἐστιν αἴτιον τῆς τε συντηρήσεως καὶ τῆς παραγωγῆς αὐτῶν, φησὶν ὁ ψαλμός· „Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν"· καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους, ὅτι „φέρει πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ"· δι' οὗ γὰρ γεγόνασι, καὶ ἐν τῷ εἶναι συντηροῦνται. Πῶς δὲ δεῖ νοεῖν τό ῥήματι, εἴρηται. Διότι δὲ ὁ τοῦ τεχνίτου λόγος εἶδός ἐστι μόνον νοητόν, οὐχ ὑφεστώς, καὶ τῷ μὴ ὑφεστῶτι τὸ ποιεῖν οὐχ ἁρμόζει ἰδίως, καὶ διὰ τοῦτο οὐχ ὁ τῆς οἰκίας λόγος ὁ ἐν τῷ τεχνίτῃ ποιεῖ, ἀλλ' ὁ τεχνίτης δι' αὐτοῦ

**7** Heb. 2, 3 **11** Eccli. 1, 9 **25** Ioh. 1, 3 **26** Gen. 1, 3 **27** Ps. 148, 5 **31** Ps. 32, 6 **32** Heb. 1, 3

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν οἰκίαν ποιεῖ, ὁ δὲ τοῦ Θεοῦ Λόγος ὑφεστώς ἐστι καὶ λόγος τῶν ὑπὸ Θεοῦ γεγενημένων ἐστίν, καὶ αὐτὸς ποιεῖν λέγεται, οὐ δι' αὐτοῦ μόνον γίνεσθαί τι· καὶ διὰ τοῦτο ἡ τοῦ Θεοῦ σοφία ἐν ταῖς Παροιμίαις φησίν· „Μετ' αὐτοῦ ἤμην πάντα ἁρμόζουσα"· καὶ ἐν τῷ κατὰ Ἰωάννην· „Ὁ Κύριος ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι".

Ἀνάγκη δὲ καὶ πάντα τὰ γενόμενα ὑπὸ τοῦ Θεοῦ ἐν τῷ Λόγῳ τοῦ Θεοῦ προϋφεστάναι, καὶ πρὶν ἐν τῇ ἑαυτῶν εἶναι φύσει· τὸ γὰρ διὰ νοῦ γεγενημένον, ἡ οἰκία, λόγου χάριν, προϋφίσταται ἐν τῷ λόγῳ τοῦ τεχνίτου· τὸ δὲ ἔν τινι ὄν, κατὰ τὴν φύσιν ἐστὶ τοῦ ἐν ᾧ ἐστι, καὶ οὐ κατὰ τὴν αὐτοῦ, ὡς ἡ ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου οἰκία νοητῶς καὶ ἀΰλως ὑφίσταται. Ἐπεὶ οὖν ὁ θεῖος Λόγος ἄϋλός ἐστι καὶ ἁπλοῦς, καὶ οὐ μόνον ζῶν ἀλλὰ καὶ ζωή, καὶ αὐτός ἐστι τὸ εἶναι αὐτοῦ, διὰ τοῦτο τὰ ὑπὸ τοῦ Θεοῦ γενόμενα, ἐν τῷ τοῦ Θεοῦ Λόγῳ προϋφεστῶτα κατὰ τὴν φύσιν αὐτοῦ, ἐξ ἀϊδίου καὶ ἀΰλως εἰσὶν ἐκεῖ καὶ πάσης ἄνευ συνθέσεως, καὶ οὐδὲν ἕτερόν εἰσιν ἐν αὐτῷ ἢ αὐτὸς ὁ Λόγος, ὅς ἐστι ζωή· διὸ καὶ ἐν τῷ κατὰ Ἰωάννην λέγεται· „Ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν" | f. 161v τουτέστιν ἐν τῷ Λόγῳ. Ὥσπερ δὲ τῶν φύσει ὑφεστώτων αἴτιός ἐστιν ὁ Θεὸς διὰ νοῦ, οὕτω καὶ πᾶσα νοερὰ γνῶσις ἐκ τοῦ θείου νοῦ κάτεισιν· καὶ ὥσπερ παράγει πάντα εἰς τὸ εἶναι διὰ τοῦ Λόγου, οὕτω καὶ γνῶσιν ἐντίθησι νοερὰν τοῖς δεχομένοις διὰ τοῦ Λόγου· διὸ ἐπάγεται· „Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων". Αὐτὸς γὰρ ὁ Λόγος, ζωὴ ὤν, καὶ ἐν ᾧ πάντα ζωή εἰσιν, ὡς φῶς ταῖς τῶν ἀνθρώπων διανοίαις τὴν ἀλήθειαν φανεροῖ. Οὐκ ἔστι δὲ τῆς ἀσθενείας τοῦ Λόγου τὸ μὴ πάντας ἀνθρώπους εἰς τὴν τῆς ἀληθείας ἔρχεσθαι γνῶσιν, εἶναι δέ τινας καὶ ἐσκοτισμένους, ἀλλὰ τοῦτο τῆς ἀσθενείας τῶν ἀνθρώπων ἐστίν, τῶν μὴ πρὸς τὸν Λόγον ἐπιστρεφομένων μηδὲ δέχεσθαι τοῦτον ἱκανῶς δυναμένων. Ὅθεν καὶ μέχρι νῦν ὑπολέλειπται τὸ σκότος ἐν τοῖς ἀνθρώποις, πλέον ἢ ἔλαττον, καθόσον μᾶλλον ἢ ἧττον ἐπιστρέφονται πρὸς τὸν Λόγον καὶ εἰσὶν αὐτοῦ δεκτικοί. Ὅθεν καὶ ὁ Ἰωάννης τῆς φανερωτικῆς τοῦ Λόγου δυνάμεως πᾶσαν ἀσθένειαν ἐξορίζων, εἰπών· „Ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων", συνάπτει, ὅτι „ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν"· οὐ γὰρ ἐκ τοῦ μὴ λάμπειν τὸ φῶς ἐστι τὸ σκότος, ἀλλ' ἐκ τοῦ τινὰς μὴ δέχεσθαι τοῦ Λόγου τὸ φῶς, ὥσπερ τοῦ σωματικοῦ φωτὸς τοῦ ἡλίου εἰς τὴν οἰκουμένην διαχεομένου, σκότος ἐστὶ τῷ κεκλεισμένους ἢ ἀσθενεῖς ἔχοντι τοὺς ὀφθαλμούς.

Ταῦτά εἰσιν ἃ περὶ τῆς θείας γεννήσεως καὶ τῆς δυνάμεως τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἐκ τῶν θείων γραφῶν κατὰ τὸ δυνατὸν δεδιδάγμεθα, καὶ ὡς ἐν ἀποσημιώσει ἐτέθησαν.

---

**4 Prov. 8, 30 Ioh. 5, 17 16 Ioh. 1, 3 20 Ioh. 1, 4 30 Ioh. 1, 5**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006